Τῶν ἡδέων μὲν οὖν, ὅπερ ἔλεγον, οὐ πολλὰ ἂν ὁ τὸν βίον ἐξετάζων εὑρήσοι, οὐδ' ὅσα μόνον ἡδέα ὄντα τῶν οὐ τοιούτων ὅλως ἀπήλλακται· ἑσμοῖς δὲ ὅλοις δεινῶν καὶ σμήνεσί τισι δυςχερῶν μυρίοις ἐντεύξεται. *Μυρία γὰρ κατὰ τὸν εἰπόντα δεινὰ κατ' ἀνθρώπους ἀλάληται· | πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα, | νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτὶ | αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι | σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς.*

|| Εἰ δὲ μὴ πάρεργον ἦν ἢ τοῦ καιροῦ πως ἔξω φερόμενον, φ.152β
κατέλεξα ἂν ἡδέως οὐκ ὀλίγα τῶν ὅσοις ἐντυγχάνομεν ἐν βίῳ δεινοῖς· πάντα γὰρ ἀριθμῆσαι καὶ πέρας εὑρεῖν τἀριθμῷ ἀμήχανον οἶμαι καὶ λόγῳ καὶ μέλανι. Πλὴν ἀλλ' ἐκεῖνο χρὴ παρ' ὅλον τὸν λόγον ἀναπεμπάζεσθαί τε καὶ θεωρεῖν, ὡς οὐ δι' αὑτόν τι χρῆμα ὁ βίος οὐδὲ τἆλλα πάντα γε τούτου ἕνεκεν, ἀλλ' ἔστιν οἷον ἡ νόσος ἐς τὴν ὑγίειαν ἤ, εἰ βούλει, μᾶλλον οἷον τὸ φαρμάκοις χρῆσθαι πρὸς τὴν αὐτήν. Ἀμέλει καὶ εἰ χρυσοῦ χωνευτήριον τόπος τε ἀγώνων καὶ θέατρον καὶ πλοῖον καὶ τὰ τοιαῦτα [καλοῖτο, οὐ πόρρω τῆς αὐτοῦ φύσεως σχοίη γ' ἂν τὰ τοιαῦτα] τῶν ὀνομάτων. Οὐ δι' αὑτὰ γὰρ κἀκεῖνα, ἀλλὰ τῷ μὲν δόκιμος εἰ τύχοι χρυσὸς, τῷ δὲ κότινος, τῷ δ' αὖ λιμὴν, ἐκτήθη καὶ τὸ σεσῶσθαι. Ὥςπερ οὖν τῶν ἡδέων ἓν οὐδὲν ἐν ἐκείνοις, οὐδ' ὧν ἄν τις ἕλοιτο δι' αὑτά, εἰ μὴ ὅσα γε πρός τι τῶν εἰρημένων πεπέρασται, οὕτως οὐδ' ἓν τῷ βίῳ τῶν ὄντων οὐδὲν ὅπερ ἔξω τοῦ χοροῦ τῶν δυςχερῶν δι-

1. ἡδέων 2. ἡδέα 3. σμήνεσι τισὶ 5. ἀλάλητα 6. ἠδ' 7. φυτῶσι 9. φερόμενον ἐκ τοῦ φερόμενος 10. ἡδέως 11. τ'ἀριθμῷ 12. χρῆ 13 δι' αὐτὸν οἱ κώδικες ΠΒΑ τοῦ Ω: διαυτὸν Ψ 14. τ'ἄλλα 15. ὑγείαν φαρμάκοις ἐκ τοῦ τὸ πρῶτον γραφέντος φάρμακον 16. εἰ Ω: λείπει Ψ 17. πλοῖον ἔγραψα: πλοῖς ΨΩ 17-18. καλοῖτο—τὰ τοιαῦτα προςέθηκα ἐκ τοῦ Ω: λείπουσι Ψ 19 αὐτὰ οἱ κώδικες ΠΒΑ τοῦ Ω: αὐτὰ Ψ καὶ κῶδιξ Ν τοῦ Ω 21. αὐτὰ οἱ κώδικες ΝΒ τοῦ Ω: αὐτὰ Ψ καὶ οἱ κώδικες ΠΑ τοῦ Ω 22. πεπέρασται Ψ: πεπέρανται Ω οὐδ' ἓν οἱ κώδικες ΝΒΑ τοῦ Ω: οὐδὲν Ψ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

καίως ἐστήξει οὐδ' ὅπερ ὁπωςοῦν ἡδέος μετειληφὸς ἀρχή τις οὐκ ἔσται πάλιν ἀνιαροῦ.

Τί ποτ' οὖν ἡμεῖς, οὑτωςὶ μὲν τοῦ παρόντος ἔχοντος βίου καὶ οἷον ἡμᾶς παίζοντός τε καὶ κύκλῳ τινὶ περιάγοντος, τοσούτων δὲ ὄντων ἀνιαρῶν, ὥςτε μηδ' ἐλεύθερον ἐᾶν ἀναπνεῖν τὸν βιοῦντα μηδ' ἔχειν ἐφ' ὅτῳ μᾶλλον ἂν αὑτὸν ἡδόμενον ἢ ἀνιώμενον αἴσθοιτο, βίον μὲν οὕτω περὶ πολλοῦ καὶ τὴν ἐνταῦθα πλάνην ποιούμεθα, καὶ ταῦτα μήτ' ἀγνοοῦντες μήτε μὴν οὐ παθόντες οἷς ἄν τις γνοίη παθών, ἄνθρωπον δὲ ἀνοιμώζομεν, εἰ πεφευγὼς ἐκεῖνον μυρίων ἀνιαρῶν ἀπαλλάττοιτο, ἔξω γενόμενος κακῶν τε ἄλλων ἁπάντων καὶ δὴ καὶ τοῦ καθ' ἡμέραν δέους, πάσης ἡστινοςοῦν ἀνίας χαλεπωτέρου τυγχάνοντος; Ἢ πῶς οὐ μέλλομεν αἰσχυνεῖσθαι, εἰ τἆλλα μὲν τῶν δεινῶν πολλάκις ὤφθημεν πεφευγότες καί που καὶ μακαρίους οὐκ ἔξω νενομίκαμεν λόγου τοὺς
φ 153a ὅ τι πλεῖστον ἀφεστηκότας ἀνιαρῶν, || αὐτὸν δὲ τὸν βίον, τὸ πάντων ὡντινωνοῦν κακῶν αἴτιον, αὐτὴν τὴν κορωνίδα τῶν ξυμφορῶν, οὐ μόνον οὐ κακῶν ἔσχατον ἡγησόμεθα, ἀλλ' εἰ μὴ κακῶς τις πέπονθεν ἄλλοτε ἄλλως ὑπ' ἐκείνου φερόμενος, σχετλιάσομέν τε καὶ ἀνοιμώξομεν καὶ κακοδαίμονα νομιοῦμεν, ὃς ἂν τοῦ βίου τὴν ταχίστην ἀπαλλαγεὶς ἔξω δεινῶν αὐτίκα καὶ τῆς ἐκ τούτων ἀνίας γένοιτο; Χωρὶς δὲ ἐκείνων, ἤτοι φαύλως τὰ πράγματα κρίνειν δόξομεν ἢ τὴν τοῦ φθονεῖν, εἴ τῳ παθεῖν εὖ ξυμβέβηκεν, οὐκ ἀποφευξόμεθα δόξαν. Ὅλως δὲ, εἰ μὲν τοῦ βίου τέλος ἓν οὐδὲν ἦν, ἀλλὰ φροῦδα πάντα θανόντος ἀνθρώπου γίγνεται, οὐδ' οὕτως ἂν ἦν τῶν μετρίων ἐπ' ἐκείνῳ δακρύειν καὶ ὀλοφύρεσθαι· ἐξ ἀνάγκης γὰρ ἂν ἦν καὶ οὐκ ἦν ἄνευ ἀνίας ἐν τοῖς τοιούτοις δακρύειν

1. ἑστήξει 2. ἠδέος 5 (καὶ 6). μὴδ' 5. ἐᾶν **προςέθηκα ἐκ τοῦ Ω: λείπει Ψ** 7. την 8. μήτ' ἀγνοοῦντες Ω: μὴ μεταγνοοῦντες Ψ 10 ἀπαλλάτοιτο 13. τ'ἄλλα 16. ὄντινωνοῦν 18. τίς 20. ἀπαλαγεὶς 22. εἰ τῶ 4. φρούδα 25-26. ἐξανάγκης 26. ἂν **προςέθηκα ἐκ τοῦ Ω: λείπει Ψ** ἀνίας Ω: ἀνοίας Ψ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πλὴν οὐκ ἀπεῖναι λόγου παντὸς, οὐδὲ τῆς τοῦ πρέποντος ἀπάσης ἀφεστηκέναι πάντῃ καὶ τοῦ δικαίου μοίρας ἐδόκει. Τὸ γὰρ ὄντα μηκέτ' εἶναι φθειρόμενον, κἂν ἐξ ἀνάγκης ξυμβαίνῃ, τοσοῦτον εἰκότως ἐς ἀθυμίαν δόξειεν ἂν ὅσον ἐς ἡδονὴν τὸ μηδέποτε τῶν ὄντων εἶναι πεπαῦσθαι.

Ἐπεὶ δὲ τέλος μὲν ἀνθρώπου θεὸς καὶ ἡ περὶ αὐτὸν ἀΐδιος ἔλλαμψις, ὁ δὲ βίος ἐς αὐτὴν ἀνθρώπῳ πεπέρασται, ἥκιστα λυπητέα δεῖν οἶμαι, οὐδὲ δακρυτέα τῷ λόγῳ λογισμῷ κρείττονι καὶ τῷ ποτὲ γοῦν ἐλπίζειν ὄψεσθαι τοὺς οἰχομένους χρωμένοις. Ἀγαθὸς γὰρ ὢν ὁ θεὸς καὶ τούτῳ καθάπερ καὶ τοῖς ἄλλοις ἄπειρος ὢν, πρῶτον μὲν τὸν νοερὸν ἐκεῖνον ὅςτις ποτέ ἐστιν ἐδημιούργησε κόσμον, ἐκεῖνον μόνον δυνάμενον ὅσον νοῦς τε καὶ βούλησις· τἆλλα γὰρ τῆς ὕλης ἐξῆπται, ἧς ὁ ῥηθεὶς διάκοσμος ἄμοιρος· εἶτα, βουλόμενος δημιουργῆσαι τὸν ἄνθρωπον, πρῶτον μὲν κἀνταῦθα τουτονὶ τὸν αἰσθητὸν παρήγαγε κόσμον, τοιοῦτον ἔξοντα λόγον πρὸς τὸν δημιουργησόμενον ἄνθρωπον, οἷον οἰκία φ.153α
πρὸς ἐνοικοῦντας ἢ οἷον, εἰ βούλει, πρὸς ἀθλοῦντας ‖ καὶ ἀγωνιζομένους τὸ θέατρον. Οὐδὲ γὰρ μόνον, ὡς ἔοικε, χῶρος γενέσεως ἀνθρώπων ὁ κόσμος γεγένηται τῷ κτίστῃ θεῷ, ἀλλὰ καὶ θέατρον ἀγώνων καὶ στάδιον ὅσα τε ἄλλα τῆς ὁμοίας ἐστὶ δυνάμεως, ἐν ᾧ πένταθλον μὲν οὔ, ψυχῶν δὲ ἀγῶνες καὶ ἆθλοι πολλῷ μείζους ἐκείνου καὶ τιμιώτεροι πεφύκασι γίγνεσθαι. Ἔπειτα δὲ καὶ αὐτὸν ἐκεῖνον δημιουργήσας τὸν ἄνθρωπον, οὗ ἕνεκα κόσμος καὶ πᾶσα κτίσις ἐγκόσμιος, οἷον ἀθλητὴν αὐτὸν ἔθετο καθάπερ ἔν τινι σταδίῳ μέσῳ τῷ γε παντὶ, ἀθλοθέτης μὲν ὢν καὶ ἀγωνοθέτης αὐτὸς, ἆθλον δὲ οὐ κότινον προτιθεὶς οὐδ' ὅς ἐκ δάφνης ἤ τινος τῶν τοιούτων πλέ-

1. τῆς ἐκ τοῖς τοῦ Ω: λείπει Ψ 2. μοίρας ἐκ μόρρας 3. μὴκέτ' κἀν ἐξανάγκης ξυμβαίνη ἐκ τοῦ ξυμβαίνει 8. κρεῖττονι 11. ὅςτίς 13. τ'ἄλλα 14. τὸν Ω: τὸ Ψ 16. δημιουργησόμενον εἶχε τὸ πρῶτον ὀξεῖαν καὶ ἐπὶ τοῦ δευτέρου ἢ διαγραφεῖσαν Ψ: δημιουργηθησόμενον οἱ κώδικες ΝΒΑ τοῦ Ω 17. ἐνικοῦντας 19. κτίστη ἐκ τοῦ κτίσθη θεῷ Ω: θεῶν Ψ 20. ὅσά 21. οὔ ἐξ ὀἀν(;) Ψ 23. δημιουργήσας Ω: δημιουργῆσαί Ψ 24. ἐγκόμιος 26. προτιθεὶς Ω: προστιθεὶς Ψ ἢ τινὸς

Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

κεται στέφανος, ἀλλ' ὅπερ αὐτὸς ἀπείρῳ μεγαλοπρεπείᾳ κἀνταῦθα χρώμενος τὸ τιμιώτατον τῶν ὄντων καὶ τελεώτατον ἡτοιμάσατο χρῆμα, λέγω δὲ αὖ πάλιν αὐτὸν, τὸ ἄπειρον ὂν, τὸ νῶν ἁπάντων καὶ λογικῆς ἡστινοσοῦν φύσεως τέλος, τὸ ὑπερκείμενον καὶ κοινὸν τοῖς οὖσιν ἅπασιν ἀγαθόν. Ἐχρῆν γὰρ τῷ ὄντι τὸν ἀπείρῳ ξυμπαθείᾳ περὶ τὴν λογικὴν φύσιν καὶ τὰ ὄντα πάντα κεχρημένον θεὸν τὸν αὐτὸν εἶναι καὶ ἀθλοθέτην καὶ ἀριστεῖον, τὸ μὲν ὅτι μόνος αὐτὸς ἐν οὖσι κοίρανός τε καὶ βασιλεὺς, τὸ δ' ὅτι τῶν ὄντων ἐν οὐδὲν ἐκείνου τελεώτερόν τε καὶ τιμιώτερον, οὐδ' ὅπερ ἂν γένοιτο λογικῆς ποτε φύσεως ἔσχατον τέλος καὶ ἀγαθόν· οὗ τί ἄν τις ἐπινοίᾳ γοῦν ἀναπλάσαιτο παραδοξότερόν τε καὶ ξυμπαθέστερον; Ἐγὼ πολλάκις ἐμαυτοῦ γενόμενος, ὦ παρόντες, καὶ τὴν περὶ ἡμᾶς τοῦ μεγάλου θεοῦ πρόνοιαν ἀναπεμπαζόμενός τε καὶ θεωρῶν, γάννυμαι μὲν καὶ χαίρω καὶ πάσης ἡδονῆς ἐμπίπλαμαι τὴν ψυχὴν, οὐκ ἐκπλήττεσθαι δὲ οὐκ ἔχω, τὴν ἄπειρον ἐκείνου περὶ ἡμᾶς [ὁρῶν] ἀγαθότητα. Ὃς πρὸς τῷ ἐξ οὐκ ὄντων ἡμᾶς ἐπὶ τὸ εἶναι παραγαγεῖν καὶ κατὰ τὴν αὐτοῦ εἰκόνα δημιουργῆσαι τἆλλά τε πάντα καὶ τὸ πᾶν τοῦθ' ἡμῖν διὰ τὴν παροῦσαν ζωὴν καὶ πολιτείαν χαρίσασθαι, ἐῶ λέγειν ὅτι καὶ αὐτὸν ἐκένωσε μέχρι δούλου μορφῆς,
φ.154a ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος καὶ σχήματι εὑρεθεὶς || ὡς ἄνθρωπος, ἔπαθέ τε καὶ ἀπέθανε καὶ ἀνέστη, ἵν' ἡμεῖς ἀπαθανατισθῶμεν καὶ τὸ ἀρχαῖον ἀξίωμα κομισώμεθα, προσέτι καὶ τὴν ἀΐδιον ἐκείνην καὶ μακαρίαν ἀπόλαυσιν ἐχαρίσατο, ἑαυτὸν ἡμῖν ἀΐδιον τρυφὴν, ὡς εἴρηται, καὶ ἀπόλαυσιν χαριζόμενος.

Τούτων τί γένοιτ' ἂν ἄλλο μεῖζον ἢ καὶ παραδοξότερον, φαίην δ' ἂν καὶ φιλανθρωπότερον; Οὐδὲ γὰρ εὖ παθεῖν ὄντες

2. ἡτοιμάσατο 3. αὐτὸν Ω: αὐτὸν Ψ 4. ἥςτινοςοῦν φύσεως ἐκ τοῦ φείσεως 5. οὖσιν τωόντι 6. πάντα Ω: λείπει Ψ 10. ποτὲ 14. τὴν ψυχὴν Ω: τῆ ψυχῆ Ψ 16. ὁρῶν Ω: λείπει Ψ 17 αὐτοῦ ἐκ τοῦ αὐτοῦ τ'ἄλλα τὲ 19. αὐτὸν ἔγραψα: αὐτὸν Ψ: ἑαυτὸν Ω 20. ἀνθρώπου Ω: ἀνω Ψ 24. εἴρηται Ω: εἴ τα Ψ 25. καὶ Ω: λείπει Ψ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ἄξιοι, παρὰ θεοῦ πεπόνθαμεν εὖ, ἀντὶ θνητῶν ἀθάνατοι καὶ ἀντὶ φαύλων σπουδαῖοι γενόμενοι· οὐδ' αὖ ἀξίως διὰ τὰς ἡμετέρας ἀρετάς τε καὶ κατορθώματα τὴν θείαν ἀπόλαυσιν κομιζόμεθα, ὥςπερ τινὰ κότινον ὁ παλαίων ἢ ἆθλον ἢ ὅ τι ἂν εἴποι τις ὅ γ' ἐν Ὀλυμπίᾳ νενικηκώς. Πόσα γὰρ ἂν ἀγωνίσαιτό τις ἐν τῷδε τῷ βίῳ ἢ πόσα κατὰ τῶν πονηρῶν πνευμάτων ἄν τις στήσαιτο τρόπαια, πόσους δ' ἂν ὑποσταίη καὶ κινδύνους καὶ πόνους, φαίην δ' ἂν καὶ θανάτους ὑπὲρ τοῦ τὴν μακαρίαν ἐκείνην ἀπόλαυσιν ἀξίως αὐτοῦ τε καὶ τῶν βεβιωμένων [κομίσασθαι]; Οὐδ' εἰ μυρία μὲν πάθοι δεινά, μυρίους δ' εἰ οἷόν τ' ἦν ὑποσταίη θανάτους, ἀξίως ἄν ποτε διὰ ταῦτα τοῖς ἐλπιζομένοις στεφάνοις στεφανωθείη. Τίς γὰρ λόγος τῶν ἡμετέρων ἐνταῦθα ἄθλων πρὸς τὰ ἑτοιμασθέντα ἡμῖν ἆθλα καὶ ἀγαθά, ὥςπερ τις λόγος ἢ κοινὸν πεπερασμένου πρὸς ἄπειρον. Ἔχει γε μέντοι λόγον ἐν ἄλλοις· ὡς γὰρ ἆθλος ἄθλου καὶ κατόρθωμα κατορθώματος, οὕτω καὶ ἆθλον ἄθλου καὶ στέφανος στεφάνου καὶ ἁπλῶς ἀπόλαυσις ἀπολαύσεως διενήνοχε, τὸ μὲν διὰ τὴν ἄπειρον τοῦ μεγάλου θεοῦ περὶ ἡμᾶς ἀγαθότητα, τὸ δὲ ἵνα τὸ δίκαιον σώζηται κατὰ λόγον τῷ δικαιοτάτῳ κριτῇ τε καὶ ἀθλοθέτῃ, τὰς ἀμοιβὰς τῶν πόνων ὡς πρὸς τρόπου δικαίως οὐκ ἀριθμητικῷ, γεωμετρικῷ δὲ λόγῳ παρέχοντι. Οὕτως ὑπὲρ ἅπαντα νοῦν καὶ λόγον ἡ τῶν ἡμετέρων ἄθλων καὶ ἀγώνων ἀντιμισθία τε καὶ ἀντίδοσις οὐ κατὰ τὸ ὀφείλημα τῶν ἔργων, ὡς ἔφθην εἰπών, ἀποδιδομένη, κατὰ χάριν δὲ τοῦ μεγαλοδώρου θεοῦ τοῖς εἰς αὐτὸν ἠλπικόσι παρεχομένη.

3. κατορθώματα ἐκ τοῦ κατωρθώματα 4. ὥςπέρ τινα ὅτι Ω: ἢ ὅτι Ψ τίς 9. αὐτοῦ Ω: αὐτοῦ Ψ κομίσασθαι Ω: λείπει Ψ 10. δεῖνὰ εἰ Ω: λείπει Ψ οἷον ἄν ποτε Ω: δ' ἂν Ψ 13. ὥςπέρ 14. ἄθλου Ω: ἆθλον Ψ 15. κατώρθωμα 16. ἀπολαύσεως ἐκ τοῦ ἀπολαύσεων μετὰ διπλῶν διορθώσεων διὰ βραχυγραφίας καὶ εἶτα ὁλογράφως 18. δικαιωτάτω 19. πρὸς Ω: πρὸ Ψ δικαίως Ω: δικαίοις Ψ 20. αριθμητικῷ 24. ἠλπικόσι Ω: ἐλπικόσι Ψ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Οὕτως οὐ μόνον τὴν ἡμετέραν περὶ τὸ εὖ παθεῖν ἀξίαν, ἀλλὰ φ.254a καὶ πᾶσαν ἥντινοῦν ἔννοιαν || ἡ περὶ ἡμᾶς ὑπεραίρει τοῦ μεγάλου θεοῦ καὶ φιλανθρωπία καὶ ἀγαθότης, τοσαῦτα καὶ οἷα τοῖς νομίμως τὸν ἐνταῦθα διαθλήσασι βίον οὕτω λαμπρῶς, οὕτω μεγαλοπρεπῶς, οὕτω δαψιλῶς ἄγαν δωρησαμένου. Τοιούτων οὖν ὄντων ἃ θεὸς μετὰ τὴν τοῦ βίου τοῦδε καὶ τῶν ἐνταῦθα δεινῶν ἁπάντων ἀπαλλαγὴν τοῖς ἐς αὐτὸν ἠλπικόσιν οὕτω μεγαλοπρεπῶς, ὡς εἰπόντες ἔφθημεν, ἡτοιμάσατο, εἰ θανών τις ἐξ ἀνάγκης ἀπῆλθε καὶ δεινῶν μεγάλων ἀπήλλακται, πρὸς δὲ καὶ τῆς θείας ἐκείνης ἐπελάβετο μοίρας, ᾗ μόνῃ λογικὴ ψυχὴ τελειοῦται καὶ θεός πως ἕτερος γίγνεται, στυγνάσομέν τε καὶ ἀνοιμώξομεν, σχῆμά τε ἅπαν καὶ ὀντιναοῦν ἐρρῶσθαι λόγον εἰπόντες ὅλοι τοῦ πένθους καὶ τῆς ἀνίας ἐσόμεθα, εἶτ' ἐν τῷ τῶν ἁπάντων τοῦ προσήκοντος ἐσόμεθα σχήματος; Ἢ πῶς οὐχ ἅπας ὀςτιςοῦν ἐν ἡμῖν ἀνατετράφθαι λογισμὸς ἐντεῦθεν εἰκότως ἂν νομισθείη, εἰ χαίρειν μὲν ἐφ' οἷς ἀλγεῖν ἔδει, δακρύειν δ' αὖ πάλιν ἐφ' οἷς ἐχρῆν οὐ λυπεῖσθαι δεῖν νομιοῦμεν καὶ τούτῳ καθάπερ ἀρχῇ τινι πεισόμεθα παντὸς οὑτινοςοῦν λόγου καὶ τῆς αὐτῆς ἀποδείξεως κρείττονι;.

Ταῦτ' οὖν εἰδώς, θειότατε βασιλεῦ, καὶ λογιζόμενος οἵα τις ἦν ἡ θειοτάτη σου μήτηρ ἐκείνη, ἣν ἡ φύσις, ὡς ἔοικεν, οὕτω θεοῦ κινοῦντος καὶ βουλομένου, ἄγαλμα πάντων ὧν ἂν εἰπεῖν ἔχοι τις ἤνεγκεν ἀγαθῶν, φέρε μὲν ἀνδρείως τὸ πάθος, ἐξ ἀνάγκης οὐκ ἔξω φύσεως οὐδὲ παρὰ λόγον ἐπιξυμβάν, τῆς δ' ἣν ἔσχες ἀνίας, ὅτι περ ἡμᾶς ᾤχετο λιποῦσα, καθάπερ σῶμα ψυχή, πολ-

2. ἥντινοῦν Ψ: ἥντιναοῦν Ω  3. τοσαῦτα καὶ καὶ  7. ἐς Ω: εἰς Ψ  ἠλπικόσιν Ω: ἠλπικόσι Ψ  8. ἡτοιμάσατο  10. ᾗ Ω: ἡ Ψ  11. σχῆμα τὲ  12. ὄντινουν  14. ὅστισοῦν  15. εἰ Ω: λείπει Ψ  17. δεῖν Ω: δεῖ Ψ  ἀρχή  πεισθησόμεθα Ψ: πεισόμεθα Ω  18. οὔτινος οὖν  19-20. οἵα τις (κῶδ. οἷα τίς) — ἦν Ψ: οἷος ὁ μέγιστος ἡμῖν βασιλεὺς ἐκεῖνος ὃν Ω  22. τίς  23. ἣν Ω: αὖ Ψ

Ε.Υ.Δ της ... ΙΩΑΝΝΙΝΑ 2007

λῶν τε ἄλλων οὐκ ἀγαθῇ μοίρᾳ καὶ δὴ καὶ τῆς ἐκείνης στερηθέντας οὐκ ἀνευδαίμονος δεξιᾶς, ἀντίθες ἣν ἐκείνη πάντως ἔσχεν εὐδαιμονίαν νυνί, πάντων μὲν ἔξω γεγενημένη τῶν ἐν τῷ βίῳ δεινῶν, τοῦ μακαρίου δὲ τέλους τῆς εὐζωίας ἐκείνης ἐπιλαβομένη δικαίως οἷς ἄριστα καὶ ὡς ἐχρῆν αὐτὴ μὲν ψυχήν τε ἅμα καὶ βασιλείαν ἐκόσμησεν, ἡμεῖς δὲ πεπόνθαμεν εὖ ὑπὸ βασιλικῆς τῷ ὄντι καὶ θείας ψυχῆς. Τί γὰρ τῇ μεγίστῃ δεσποίνῃ τῶν ἀγαθῶν οὐ προςῆν ἢ ποῖον ἀρετῆς εἶδος οὐ μεθ' ὑπερβολῆς ὅσης ἐκτήθη καὶ ὡς οὐδὲ μιᾷ τῶν ἄλλων οὐδέν; || Οὐχ ἔθνος μὲν ἁπάντων, ὡς εἰ- φ.155ν πεῖν, τὸ σεμνότατον, γένος δὲ βασιλεῖς, ἐκ βασιλέων δ' αὖ καὶ αὐτοί; Οὐ λαμπρῶς μὲν ὑπὸ τῷ μεγάλῳ πατρὶ πᾶν ὅ τι ἂν εἴποι τις τῶν ἀγαθῶν ἐπεπαίδευτο, λαμπρῶς δ' αὖ πάλιν ἐπ' αὐτὴν ἧκε τὴν βασιλίδα τῶν πόλεων, ὁμόζυγος ἀξία τοῦ μεγάλου βασιλέως ἐκείνου, ὃν οὔτ' ἄλλην ἀντ' αὐτῆς ἔδει λαβεῖν ἐς κοινωνίαν ἀρχῆς, οὔτ' ἄλλης ἣν ἂν εἰπεῖν ἔχοι τις ἀξίως ἄνδρα κληθῆναι; Οὐ μήτηρ γέγονε βασιλέων οὓς ἔθρεψεν ἀρεταῖς μᾶλλον ἢ γάλακτι; Οὐ σώφρων ἦν, ὥςτε δοκεῖν αὐτὴν σωφροσύνην ἢ ὥςπερ ἀνδριάντα τῆς ἀρετῆς; Οὐ φρονήσει μὲν ἐχρῆτο μετὰ σοφίας, σοφίαν δὲ ἐτίμα μετὰ φρονήσεως; Οὐ δικαιοσύνης ἦν στάθμη καὶ οἷον ἀρετῆς πλάστιγξ καὶ ὀρθή τις γωνία, οὐδετέραν, μήτ' ἐς ἀμβλεῖαν μήτε μὴν ἐς ὀξεῖαν τῶν γωνιῶν ἀποκλίνουσα; Τί δ' αὖ λέγοι τις

1. ἐκείνης Ψ: ἐκείνου Ω 2. ανευδαίμονος ἐκείνη Ψ: ἐκεῖνος Ω 3. γεγενημένη ἔγραψα: γενόμενος Ω: γεγενημένων Ψ εὐζωίας 4. ἐπιλαβομένη Ψ: ἐπιλαβόμενος Ω 5. δικαίως Ψ: λείπει Ω αὐτὴ Ψ: αὐτὸς Ω 6-7. βασιλικῆς τωόντι καὶ θείας Ψ: βασιλέως φιλοσόφου Ω 7. τῆ μεγίστη δεσποίνη Ψ: τῶ μεγίστω βασιλεῖ Ω 9. οὐδὲ μιᾶ Ψ: οὐδενὶ Ω (καὶ 11). μὲν Ω: λείπει Ψ 11. αὐτὴ ἔγραψα: αὐτὸς Ω: αὐτοὶ Ψ ὅτι τίς 12. ἐπεπαίδευτο Ψ: ἐπαιδεύετο Ω Μετὰ τὴν λέξιν ταύτην τὰ λοιπὰ διάφορα μέχρι τοῦ ἐν σ. 66,7 μυστήριον 13. βασιλείδα 15. τίς κλιθῆναι 17. ὅστε ἐκ τοῦ ὥστε 20. μήτ' ἐς ἐκ τοῦ μήτῖς 21. μήτε μὴν ἐς (διαγεγραμμένον) μήτε μὴν ἐς τίς



Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πίστεως πέρι καὶ τῆς ἐλπίδος καὶ ἣν ἴσμεν ἀρετῶν κρείττω, τὴν ἀγάπην φημί, αἷς οὐκ ἔστιν εὑρεῖν τῶν ἐπὶ ταύταις εὐφημουμένων ἣ ἂν ῥᾳδίως παραβληθείη; Οὐ κόσμον μὲν ἀφῆκεν ἐρρῶσθαι, βίον δὲ εἵλετο τὸν μακάριον; Οὐ βασιλείαν μὲν κατέλιπε καὶ ἀρχὴν, θεῷ δὲ ἠκολούθησε τῷ νυμφίῳ Χριστῷ, μεθ' οὗ νυνὶ βασιλεύει, τῆς θείας ἐκείνης μακαριότητος ἀπολαβοῦσα, ὑπὲρ ἧς πᾶν ὁτιοῦν ἐν κόσμῳ καὶ ἅπαν μυστήριον;

Τί οὖν ἀνοιμώζειν ἢ ξυνήδεσθαι χρὴ ἢ τί δεῖ δακρύειν ἣν αὐτὸς εὐδαίμονα τῇ μεταστάσει νενόμικας; Ἄφες, ὦ μέγιστε βασιλεῦ, ἐκεῖνα τοῖς μικρολόγοις καὶ οἵ τὸ φρόνημα γυναιξὶ μᾶλλον ἐοίκασιν, ἐπτοημένοι μὲν μόνοις τοῖς ὁρωμένοις καὶ ὅσα πρὸς αἴσθησιν ἡδέα νενόμισται, πρὸς οὐδὲν δὲ ὑψηλὸν, πρὸς οὐδὲν ὑπὲρ αἴσθησιν, πρὸς οὐδὲν ἀΐδιον ἢ βεβηκὸς καὶ μόνιμον ἀφορῶντες, ἀλλὰ χαμαὶ ἕρποντες καὶ τὸ τοῦ νοῦ μετέωρόν τε καὶ ὑψηλὸν βίᾳ τῷ ὄντι καὶ παρ' ἀξίαν καθέλκοντες. Σὺ δ' ὁ τὰ πάντα χρηστός τε καὶ μέτριος τοσοῦτον δακρύσας ὅσον ἐν ὀφθαλμοῖς τὰ δάκρυα στῆσαι, τοσοῦτόν τε αὖ ἀνοιμώξας ὅσον μηδὲ οἰμώζοντι ἐοικέναι, ἐκείνην μὲν εὐδαί-
φ.155[r] μονα καὶ μακαρίαν || τῷ ὄντι νόμιζε, τοιούτου τυχοῦσαν τέλους, οὗ πάντες μὴ οὐ τυχεῖν μάλα ἂν εὔξαιντο· τοῦ δ' ἡμετέρου τουτουὶ γένους καὶ τῆς κοινῆς ταύτης τῶν Ἑλλήνων ἑστίας ἀγαθῇ μοίρᾳ δικαίως τὴν βασιλείαν ἐξ αὐτῶν προγόνων καὶ ἀδελφοῦ δεξάμενος

1. ἀρετῶν κρεί[τ]πτω 8. ἢ ἔγραψα: ἣ Ψ: ὦ Ω ἣν Ψ: ὃν Ω
10. Ἀντὶ τοῦ μικρολόγοις εἶχεν ἀρχίσει γράφων μικροσχ
13. ἢ βεβηκὸς καὶ μόνιμον Ψ: καὶ μόνιμον ἢ βεβηκὸς ΝΠΒΑ τοῦ Ω: καὶ μόνιμον ἢ βέβαιον Μ τοῦ Ω 14. ἕρποντες (καὶ 18). τωόντι
17. τε Ψ καὶ οἱ κώδικες ΝΠΒΑ τοῦ Ω: τ' Μ τοῦ Ω 17. μηδὲ οἰμώζοντϊ ἐκείνη\ Ψ: ἐκεῖνον Ω 18. καὶ μακαρίαν τωόντι νόμιζε Ψ: νόμιζε καὶ μακάριον Ω τοιούτου τυχοῦσαν τέλους Ψ: τοιούτου τυχόντα τέλους ΝΠΒ τοῦ Ω: τοιούτου τέλους τυχόντα Μ τοῦ Ω: τοιούτου τυχόντα Α τοῦ Ω 19. μάλα Ψ καὶ οἱ κώδικες ΝΠΒΑ τοῦ Ω: μάλ' Μ τοῦ Ω 21. δικαίως Ψ: νυνὶ δικαίως οἱ κώδικες ΝΠΒΑ τοῦ Ω: καὶ δικαίως Μ τοῦ Ω
21. αὐτῶν — ἑλλήνων Ψ: δεξάμενος Π

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

καὶ μητρὸς καὶ μόνος ἡμῖν ὢν ἐς ὃν ἔχομεν βλέπειν ἅπαν γένος Ἑλλήνων, γενοῦ περὶ ἡμᾶς ὡς εἰώθεις καὶ οἷος περὶ πάντας ἀνθρώπους ὁ μέγας βασιλεὺς ἐκεῖνος θεὸς, οὗ τὴν βασιλείαν ὅσαι ὧραι μιμούμενος καὶ πρὸς ἐκείνην ὡς οἷόν τε τὴν σὴν παρεξετάζων ἀρχὴν οὐκ ἔστιν ὅτ' οὐ νομίμως ἄγαν ὤφθης διῳκηκὼς τὸ ὑπήκοον καὶ οἷον πολιτικῶς. Ὁρᾷς ὅσοι τε τῶν ἐν τέλει καὶ ὅσον ἐν Πόλει σύστημα αὐτήν τε ταύτην τὴν κοινὴν τοῦ γένους ἑστίαν, οὓς ἔχομεν ἀπολωλεκότας κοινοὺς σωτῆράς τε καὶ πρυτάνεις, εἰς σὲ τοὺς ὀφθαλμοὺς τείνειν καὶ μονονοὺ θεὸν ἄλλον ἐπὶ σωτηρίᾳ νυνὶ τῶν ὅλων ἐφεστηκότα νομίζειν. Τούτων ἀγαθῇ τύχῃ καὶ ὡς ἐβούλετο τὸ δαιμόνιον πατήρ τε ἅμα καὶ κυβερνήτης γενόμενος, τοὺς τῆς ἀρχῆς οἴακας βασιλικώτατα στρέφων, σῶζε μὲν ἅπαν ὑπήκοον, ἄλλοτε ἄλλως φερόμενον καὶ ὥςπερ τινὰ ναῦν μάλα δεινῶς χειμαζόμενον κύμασί τε ἅμα καὶ ὅπερ ἔχει πληρώματι, φάνηθι δὲ αὐτὸς σωτὴρ ἁπάντων καὶ κηδεμὼν καὶ οἷον τὸ τῆς Ἀλκμήνης γῆς ἁπάσης ἔφασαν Ἕλληνες. Σοί τε γὰρ ἐντεῦθεν ἁπάσης ὅρος εὐδαιμονίας προςγένοιτ' ἄν, ἡμεῖς τε εὖ ἕξομεν, ὑφ' οὗ παθεῖν ἐχρῆν εὖ παθόντες καλῶς, οὓς οὐδὲ τὴν ἀρχὴν ἔδει κατὰ τὴν κοινὴν τύχην ἀνθρώπων πταῖσαι καὶ δευτέρους βαρβάρων ἐνίων οὕτως ὀφθῆναι. Εἴρηκα.

---

3. βασιλεῖαν ὅραι 7-8. οὓς ἔχωμεν-πρυτάνεις Ψ: ὃν εἴχομεν κοινὸν σωτῆρα καὶ πρύτανιν ἀπολωλεκότας Ω 8. σωτῆρας τὲ 10. νομίζειν Ω: νομίζει Ψ ἀγαθὴ 10-11. καὶ ὡς ἐβούλετο τὸ δαιμόνιον Ψ: λείπουσιν Ω 11. πηρ τὲ 12. σώζε 13. ὥςπέρ τινα 15. κηδαιμὼν 18. τηναρχὴν 19. πτᾶσαι ἐνίων Ψ: λ ίπει Ω 20. Πρὸ τοῦ Εἴρηκα γεγραμμένα χωρὶς ἐν μέσῳ τῷ τελευταίῳ στίχῳ εὕρηνται διαγεγραμμένα τάδε· Ἔφθη Κωνσταντίνῳ εἰς ἃ ὁ βιβλιογράφος ἔμελλε νὰ προςθέσῃ πιθανώτατα γεγραφὼς παραμυθητικὸν ἐπὶ τῷ θανάτῳ τῆς μητρὸς ἤ τι ἄλλο τοιοῦτο.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007